*The Greek Anthology: The Garland ofPhilip, ed. A. S. F. Gow and D. L. Page (Cambridge, 2 volumes, 1968).*
*D. L. Page, Further Greek Epigrams (Cambridge, 1981),*

ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις

*Musa Puerilis на Страто(н) от Сарди , АП, XII, 6.*

Πρωκτὸς καὶ χρυσὸς τὴν αὐτὴν ψῆφον ἔχουσιν·
ψηφίζων δ' ἀφελῶς τοῦτό ποθ' εὗρον ἐγώ.

Argentarius II Gow-Page, APV, 32

Ποιεῖς πάντα, Μέλισσα, φιλανθέος ἔργα μελίσσης·
οἶδα καὶ ἐς κραδίην τοῦτο, γύναι, τίθεμαι·
καὶ μέλι μὲν στάζεις ὑπὸ χείλεσιν ἡδὺ φιλεῦσα,
ἢν δ' αἰτῇς, κέντρωι τύμμα φέρεις ἄδικον.

Argentarius V G-P, APV, 102 .

Ἀντιγόνη, Σικελὴ πάρος ἦσθά μοι· ὡς δ' ἐγενήθης
Αἰτωλή, κἀγὼ Μῆδος, ἰδού, γέγονα.

Argentarius XIII G-P, A.P.V, 128

Στέρνα περὶ στέρνοις, μαστῶι δ' ἐπὶ μαστὸν ἐρείσας
χείλεά τε γλυκεροῖς χείλεσι συμπιέσας
Ἀντιγόνης καὶ χρῶτα λαβὼν πρὸς χρῶτα, τὰ λοιπά
σιγῶ, μάρτυς ἐφ' οἷς λύχνος ἐπεγράφετο.

Argentarius XXIV G-P, A.P. IX, 229 .

Ἀρχαίη σύνδειπνε, καπηλικὰ μέτρα φιλεῦσα,
εὔλαλε πρηΰγελως εὔστομε μακροφάρυξ,
αἰὲν ἐμῆς πενίης βραχυσύμβολε μύστι λάγυνε,
ἦλθες ὅμως ὑπ' ἐμὴν χεῖρά ποτ' χρόνιος.
αἴθ' ὄφελες καὶ ἄμικτος ἀνύμφευτός τε παρείης,
ἄφθορος ὡς κούρη πρὸς πόσιν ἐρχομένη.